The purpose of this apparatus is to show all variation within **Family 35**, for 2 & 3 John and Jude, as identified by a complete collation of the following forty-five representative MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1247, 1248, 1249, 1503, 1548, 1628, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined.

141, 204, 386, 824, 928, 1072, 1075, 1100, 1637, 1855, 1864, 2221, 2554 and 2723 have no variants for all three books; and the exemplars of another fifteen were presumably perfect. Only five of the MSS listed above have a variant in all three books. The uniformity is impressive.

# ΙΩΑΝΝΟΥ Β[1]

*[Salutation]*

1 Ὁ πρεσβυτερος, εκλεκτη κυρια και τοις τεκνοις αυτης, οὓς εγω αγαπω εν αληθεια
—και ουκ εγω μονος, αλλα και παντες οἱ εγνωκοτες την αληθειαν—2 δια την αληθειαν,[2] την
μενουσαν εν ἡμιν και μεθ’ ἡμων εσται εις τον αιωνα: 3 Εσται μεθ’ ὑμων[3] χαρις, ελεος,
ειρηνη παρα Θεου Πατρος και παρα Κυριου Ιησου Χριστου, του[4] Υἱου του Πατρος, εν
αληθεια και αγαπη.

*[Walk in Christ’s commandments]*

4 Εχαρην λιαν ὁτι εὑρηκα εκ των τεκνων σου περιπατουντας εν αληθεια, καθως
εντολην ελαβομεν[5] παρα του Πατρος. 5 Και νυν ερωτω σε, κυρια (ουχ ὡς εντολην γραφων
σοι καινην, αλλ’ ἣν εχομεν απ’ αρχης): ἱνα αγαπωμεν αλληλους. 6 Και αὑτη εστιν ἡ αγαπη,
ἱνα περιπατωμεν κατα τας εντολας αυτου—αὑτη εστιν ἡ εντολη, καθως ηκουσατε απ’ αρχης,
ἱνα εν αυτη[6] περιπατητε.[7]

*[Beware of deceivers]*

7 Ὁτι πολλοι πλανοι εισηλθον εις τον κοσμον, οἱ μη ὁμολογουντες Ιησουν Χριστον
ερχομενον εν[8] σαρκι[9]—οὑτος εστιν ὁ πλανος και ὁ[10] αντιχριστος![11] 8 Βλεπετε ἑαυτους, ἱνα μη
απολεσωμεν ἃ ειργασαμεθα,[12] αλλα μισθον πληρη απολαβωμεν.

9 Πας ὁ παραβαινων και μη μενων εν τη διδαχη του Χριστου Θεον ουκ εχει· ὁ δε
μενων εν τη διδαχη του Χριστου,[13] οὑτος και τον Πατερα και τον Υἱον εχει. 10 Ει τις
ερχεται προς ὑμας και ταυτην[14] την διδαχην ου φερει, μη λαμβανετε[15] αυτον εις οικιαν· και
“Χαιρειν” αυτω μη λεγετε·[16] 11 ὁ γαρ λεγων αυτω “Χαιρειν” κοινωνει τοις εργοις αυτου
τοις πονηροις.

*[Farewell]*

12 Πολλα εχων[17] ὑμιν γραφειν, ουκ εβουληθην[1] δια χαρτου και μελανος, αλλ’ ελπιζω
ελθειν προς ὑμας και στομα προς στομα λαλησαι, ἱνα ἡ χαρα ἡμων[2] ᾖ πεπληρωμενη.

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] δια την αληθειαν || --- [10%] 1249,1876 (homoioteleuton)
[3] υμων || ημων [48%] 1637c
[4] του || --- 757
[5] εντολην ελαβομεν 2352c || ~ 21 2352
[6] αυτη || αυτω 432
[7] περιπατητε || περιπατειτε [15%] 1247
[8] εν || 11 2352 (from one line to the next)
[9] 1761 adds ει τις ουχ ομολογει ιησουν χριστον ερχομενον εν σαρκι
[10] ο || --- 1503
[11] αντιχριστος || αντιχρηστος 1248
[12] ειργασαμεθα || 1 καλα [3%] 1247,1892
[13] 1247,1732 omit θεον ουκ εχει ο δε μενων εν τη διδαχη του χριστου [clear homoioteleuton]
[14] ταυτην || αυτην 432
[15] λαμβανετε || λαμβανεται 1876
[16] λεγετε || λεγεται 1754
[17] εχων 1249c || εχω 1249,1876,2626

13 Ασπαζεται σε τα τεκνα της αδελφης σου της εκλεκτης.[3] Αμην.

# ΙΩΑΝΝΟΥ Γ

*[Salutation]*

1 Ὁ πρεσβυτερος, Γαιω τω αγαπητω, ὃν εγω αγαπω εν αληθεια.
2 Αγαπητε,[4] περι παντων ευχομαι σε[5] ευοδουσθαι και ὑγιαινειν, καθως ευοδουται σου
ἡ ψυχη. 3 Εχαρην γαρ λιαν, ερχομενων αδελφων και μαρτυρουντων σου τη αληθεια, καθως
συ εν αληθεια περιπατεις. 4 Μειζοτεραν τουτων ουκ εχω χαραν, ἱνα ακουω τα εμα τεκνα εν
αληθεια περιπατουντα.

*[Gaius is commended]*

5 Αγαπητε, πιστον ποιεις ὃ εαν[6] εργαση[7] εις τους αδελφους, και εις τους ξενους 6 οἳ
εμαρτυρησαν σου τη αγαπη ενωπιον[8] εκκλησιας—οὓς καλως ποιησεις προπεμψας αξιως του
Θεου, 7 ὑπερ γαρ του Ονοματος[9] εξηλθον, μηδεν λαμβανοντες απο των εθνων. 8 Ἡμεις ουν
οφειλομεν απολαμβανειν τους τοιουτους, ἱνα συνεργοι γινωμεθα τη αληθεια.

*[Diotrephes is criticized]*

9 Εγραψα τη εκκλησια, αλλ᾽ ὁ φιλοπρωτευων αυτων Διοτρεφης ουκ επιδεχεται[10] ἡμας.
10 Δια τουτο, εαν ελθω, ὑπομνησω αυτου τα εργα ἃ ποιει, λογοις πονηροις φλυαρων ἡμας.
Και μη αρκουμενος επι τουτοις, ουτε αυτος επιδεχεται τους αδελφους, και τους βουλομενους[11]
κωλυει, και εκ[12] της εκκλησιας εκβαλλει.

*[Demetrius is commended]*

11 Αγαπητε, μη μιμου το κακον, αλλα το αγαθον. Ὁ αγαθοποιων εκ του Θεου εστιν· ὁ
δε κακοποιων[13] ουχ ἑωρακεν τον Θεον. 12 Δημητριω μεμαρτυρηται ὑπο παντων—και ὑπ᾽
αυτης της αληθειας. Και ἡμεις δε μαρτυρουμεν, και οιδαμεν[14] ὁτι ἡ μαρτυρια ἡμων αληθης
εστιν.

*[Farewell]*

13 Πολλα ειχον γραφειν, αλλ᾽ ου θελω δια μελανος και καλαμου σοι γραψαι·
14 ελπιζω δε ευθεως ιδειν σε, και στομα προς στομα[15] λαλησομεν.
Ειρηνη σοι. Ασπαζονται σε οἱ φιλοι. Ασπαζου τους φιλους κατ᾽ ονομα.

# ΙΟΥΔΑ

*[Salutation]*

1 Ιουδας, Ιησου Χριστου δουλος, αδελφος δε Ιακωβου, τοις εν Θεω Πατρι ἡγιασμενοις
και Ιησου Χριστω τετηρημενοις, κλητοις: 2 Ελεος ὑμιν και ειρηνη και αγαπη[16] πληθυνθειη.

---

[1] εβουληθην || ηβουληθην [28%] 604 || 1 δε [2%] 1247
[2] ημων || υμων 986
[3] εκλεκτης || εκλετης 757
[4] αγαπητε || αγαπατε 1248
[5] σε || σαι 394
[6] εαν || --- 1754
[7] εργαση || εργαζη 1248,1754
[8] ενωπιον || 1 της 1761
[9] ονοματος || 1 αυτου [25%] 1247,1248,1876,2626
[10] επιδεχεται || επεδεχεται 18
[11] βουλομενους || βολομενους 2626
[12] εκ || --- [20%] 149,201,432,604,1768,1865,2466
[13] εκ του θεου εστιν ο δε κακοποιων || --- 1248 (obvious homoioteleuton)
[14] οιδαμεν || οιδατε (61.5%) 1761c
[15] προς στομα || --- 1247 [homoioteleuton]
[16] και αγαπη || --- 1628

*[Why he is writing]*

3 Αγαπητοι, πασαν σπουδην ποιουμενος γραφειν ὑμιν περι της κοινης σωτηριας,
αναγκην εσχον γραψαι ὑμιν παρακαλων επαγωνιζεσθαι τη ἁπαξ παραδοθειση τοις ἁγιοις[1]
πιστει.[2] 4 Παρεισεδυσαν γαρ τινες ανθρωποι, οἱ παλαι προγεγραμμενοι[3] εις τουτο το κριμα·
ασεβεις, την του Θεου ἡμων χαριν μετατιθεντες εις ασελγειαν και τον μονον Δεσποτην Θεον,
και Κυριον ἡμων Ιησουν Χριστον, αρνουμενοι.

*[Examples from ancient history]*

5 Ὑπομνησαι δε ὑμας βουλομαι, ειδοτας ὑμας ἁπαξ τουτο, ὁτι ὁ Κυριος λαον εκ γης[4]
Αιγυπτου σωσας, το δευτερον τους μη πιστευσαντας απωλεσεν. 6 Αγγελους τε τους μη
τηρησαντας την ἑαυτων αρχην, αλλ'[5] απολιποντας το ιδιον οικητηριον,[6] εις κρισιν μεγαλης[7]
ἡμερας δεσμοις αιδιοις ὑποζοφον τετηρηκεν. 7 Ὡς Σοδομα και Γομορρα, και αἱ περι αυτας
πολεις[8]—τον ὁμοιον τουτοις τροπον[9] εκπορνευσασαι και απελθουσαι οπισω[10] σαρκος
ἑτερας—προκεινται δειγμα, πυρος αιωνιου δικην ὑπεχουσαι.

*[Evil men are in the church]*

8 Ὁμοιως μεντοι και οὑτοι ενυπνιαζομενοι σαρκα μεν μιαινουσιν, κυριοτητα[11] δε
αθετουσιν, δοξας δε βλασφημουσιν. 9 Ὁ δε Μιχαηλ ὁ αρχαγγελος, ὁτε τω διαβολω
διακρινομενος—διελεγετο περι του Μωσεως σωματος—ουκ ετολμησεν κρισιν επενεγκειν[12]
βλασφημιας, αλλ' ειπεν, "Επιτιμησαι σοι Κυριος!" 10 Οὑτοι δε ὁσα μεν ουκ οιδασιν
βλασφημουσιν, ὁσα δε φυσικως ὡς τα αλογα ζωα επιστανται—εν τουτοις φθειρονται. 11 Ουαι
αυτοις, ὁτι τη ὁδω του Καιν επορευθησαν, και τη πλανη του Βαλααμ[13] μισθου εξεχυθησαν,
και τη αντιλογια[14] του Κορε απωλοντο!

12 Οὑτοι εισιν εν ταις αγαπαις ὑμων σπιλαδες, συνευωχουμενοι[15] αφοβως,[16] ἑαυτους
ποιμαινοντες·[17] νεφελαι ανυδροι, ὑπο ανεμων παραφερομεναι· δενδρα φθινοπωρινα,[18] ακαρπα,
δις αποθανοντα (εκριζωθεντα)·[19] 13 κυματα αγρια θαλασσης, επαφριζοντα τας ἑαυτων
αισχυνας· αστερες πλανηται, οἱς ὁ ζοφος του σκοτους εις αιωνα[20] τετηρηται.

14 Προεφητευσεν δε και τουτοις ἑβδομος απο Αδαμ, Ενωχ, λεγων: "Ιδου, ηλθεν
Κυριος εν ἁγιαις[21] μυριασιν αυτου 15 ποιησαι κρισιν κατα παντων και ελεγξαι παντας τους
ασεβεις αυτων περι παντων των εργων ασεβειας αυτων ὡν ησεβησαν, και περι παντων των
σκληρων ὡν ελαλησαν κατ' αυτου—ἁμαρτωλοι ασεβεις!" 16 Οὑτοι εισιν γογγυσται,

---

[1] παραδοθειση τοις αγιοις || ~ 231 2466
[2] πιστει || πιστοι 1248
[3] προγεγραμμενοι || προγεγενημενοι 2466
[4] γης || --- 986
[5] αλλ || αλλα [50%] 1732
[6] οικητηριον 2587c || οικητιριον 2587
[7] μεγαλης || μεγαλην 432
[8] πολεις || πολις 1725
[9] τουτοις τροπον 35c || ~ 21 (9%) 35
[10] οπισω || --- 1897,2626
[11] κυριοτητα || κηριοτητα 2431
[12] επενεγκειν || επενεπενεγκειν 986
[13] βαλααμ || βαλαμ 1754
[14] αντιλογια || απολογια 149,201
[15] συνευωχουμενοι || 1 υμιν [4%] 1247
[16] αφοβως || αφαβος 1248
[17] ποιμαινοντες || ποιμενοντες 328
[18] φθινοπωρινα || φθινοπορινα 1876
[19] εκριζωθεντα || εκριζοθεντα 432
[20] αιωνα || αιωνας 1247
[21] αγιαις || αγιοις 444

μεμψιμοιροι,[1] κατα τας επιθυμιας ἑαυτων[2] πορευομενοι· και το στομα αυτων λαλει ὑπερογκα, θαυμαζοντες προσωπα ωφελειας[3] χαριν.

*[Exhortation]*

17 Ὑμεις δε, αγαπητοι, μνησθητε των ῥηματων των προειρημενων ὑπο των
αποστολων του Κυριου ἡμων Ιησου Χριστου: 18 ὁτι ελεγον ὑμιν ὁτι εν εσχατω χρονω[4]
εσονται[5] εμπαικται κατα τας ἑαυτων[6] επιθυμιας πορευομενοι των[7] ασεβειων.[8] 19 Οὑτοι εισιν
οἱ αποδιοριζοντες,[9] ψυχικοι, πνευμα μη εχοντες.

20 Ὑμεις δε, αγαπητοι, τη ἁγιωτατη ὑμων πιστει εποικοδομουντες[10] ἑαυτους, εν
Πνευματι Ἁγιω προσευχομενοι, 21 ἑαυτους[11] εν αγαπη Θεου τηρησατε, προσδεχομενοι το
ελεος του Κυριου ἡμων Ιησου Χριστου εις ζωην αιωνιον.

22 Και οὓς μεν ελεειτε, διακρινομενοι· 23 οὓς δε εν φοβω σωζετε, εκ πυρος
ἁρπαζοντες, μισουντες και τον απο της σαρκος εσπιλωμενον χιτωνα.

*[Doxology]*

24 Τω δε δυναμενω φυλαξαι αυτους απταιστους, και στησαι κατενωπιον της δοξης
αυτου αμωμους εν αγαλλιασει—25 μονω σοφω Θεω, Σωτηρι ἡμων, δοξα και μεγαλωσυνη,[12]
κρατος και εξουσια, και[13] νυν και[14] εις παντας τους[15] αιωνας! Αμην.[16]

---

[1] μεμψιμοιροι || μεμψιμυροι 1548
[2] εαυτων 149ᶜ || αυτων (49.6%) 149,328
[3] ωφελειας || ωφελιας 1732
[4] χρονω || καιρω 1876
[5] εσονται || εσον 1247
[6] εαυτων || αυτων (68%) 1876,2626
[7] επιθυμιας πορευομενοι των || --- 1248 (homoioteleuton)
[8] ασεβειων || 1 αυτων 1247
[9] αποδιοριζοντες 35ᶜ || 1 εαυτους (18.4%) 35
[10] εποικοδομουντες || εποικοδομουντας 1247
[11] εν πνευματι αγιω προσευχομενοι εαυτους || --- 1248 (obvious homoioteleuton)
[12] μεγαλωσυνη || μεγαλοσυνη 1247
[13] και || --- (12.1%) 1768
[14] και || --- 432,1247
[15] παντας τους || ~ 21 1754
[16] The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com.